Ἱεράρχαι
Ιεp 103 2/257
Hierarchese
X 436
103/2

# ΟΙΚΟΙ ΕΙΚΟΣΙΤΕΣΣΑΡΕΣ

## ΕΙΣ ΤΟΥΣ ΤΡΕΙΣ ΙΕΡΑΡΧΑΣ

# ΒΑΣΙΛΕΙΟΝ, ΓΡΗΓΟΡΙΟΝ ΚΑΙ ΙΩΑΝΝΗΝ

ΥΠΟ
ΙΩΑΝΝΟΥ ΔΑΝΙΗΛΙΔΟΥ
Ἱερομονάχου Πνευματικοῦ
Ἁγιορείτου

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ · ΣΥΛΛΟΓΗ ΝΤΟ... ΠΑΠΑΣΤΡΑΤΟΥ

ΕΝ ΑΘΗΝΑΙΣ
ΤΥΠΟΓΡΑΦΕΙΑ ΤΗΣ «ΕΦΗΜΕΡΙΔΟΣ ΤΩΝ ΕΡΓΑΤΩΝ»
ΟΔΟΣ ΑΝΘΙΜΟΥ ΓΑΖΗ ΑΡΙΘ. 7 (ΠΕΡΙΒΟΛΟΣ ΒΟΥΛΗΣ)
1913

ΑΦΙΕΡΟΥΤΑΙ

ΕΙΣ ΤΗΝ ΑΓΑΠΗΜΕΝΗΝ ΜΟΥ ΚΑΙ ΦΙΛΤΑΤΗΝ ΑΔΕΛΦΗΝ

ΜΑΡΙΑΝ

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ • ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

# ΣΤΙΧΟΙ ΙΑΜΒΙΚΟΙ

## ΕΙΣ ΤΟΥΣ ΤΡΕΙΣ ΙΕΡΑΡΧΑΣ

ΥΠΟ
ΙΩΑΝΝΟΥ ΔΑΝΙΗΛΙΔΟΥ
Ἱερομονάχου Πνευματικοῦ
Ἁγιορείτου

Ὧν ἡ ἀκροστιχὶς *Ἰωάννης*

**Ι**ωμεν, ὦ Τάν, τερφὰν ὀμφὴν ἀείραι,
**Ω**κεῖαν ὁμᾶ Ὑψιμέδοντι ὅλων,
**Α**γυριν ἱρὶν ἐκ τριῶν Ἡελίων,
**Ν**ωλεμέως οἵτινες πέμπουσι χάριν,
**Ν**ικοτέλειαν δυσμενοῦς βροτοκτόνου,
**Η**γάθεον γάρ, ἵστησι, φῶμεν τοίνυν·
**Σ**αωτήρ, σάου ἵκτας λιταῖς Ὁσίων.

*Ἕτεροι (τοῦ αὐτοῦ)*

**Α**γγελος ἔδει ὑμᾶς ἐγκωμιάσαι,
Πατέρες θεῖοι, καὶ ὕμνους ἀναμέλψαι,
Βίον γὰρ ὄντως ἀγγελικὸν ἐν βίῳ
Ἐκ θείας στοργῆς διήλθετε προθύμως,
Πῦρ δὲ τὸ θεῖον, Λουκᾶν τε καὶ Κλεώπαν
Τὸ φλέξαν πάλαι, ἐν τῇ ὑμῶν καρδίᾳ
Ἐλθὸν ἀνῆψε τοῦ Ἡλιοῦ τὸν ζῆλον.
Αἱρέσεις ὅθεν δυσμενεῖς τῶν ἀθέων
Καταβαλόντες ἐκδιδάσκετε πάντας

Πατέρα σέβειν, Υἱόν τε καὶ τὸ Πνεῦμα
Τὴν μίαν φύσιν ἐν τρισὶ τοῖς προσώποις·
Εὐχαριστίαν τὴν προσήκουσαν ὅθεν
Ὡς ὀφειλέται προσάγομεν ἐνθέως.
Ὑμεῖς δ', ὦ θεῖοι παγκόσμιοι φωστῆρες,
Θεὸν τῶν ὅλων ἐκδυσωπεῖτε, ὅπως
Ἐπιβραβεύσῃ τὴν ἁμαρτάδων λύσιν.

---

## ΟΙΚΟΙ ΕΙΚΟΣΙΤΕΣΣΑΡΕΣ
## ΕΙΣ ΤΟΥΣ ΤΡΕΙΣ ΙΕΡΑΡΧΑΣ
### ΒΑΣΙΛΕΙΟΝ, ΓΡΗΓΟΡΙΟΝ ΚΑΙ ΙΩΑΝΝΗΝ

(ΠΟΙΗΜΑ ΤΟΥ ΑΥΤΟΥ)

*Κοντάκιον. Ἦχος πλ. δ'. Τῇ Ὑπερμάχῳ.*

Τοὺς τὴν Τριάδα τὴν Ὑπέρθεον κηρύξαντας
Καὶ τὴν εὐσέβειαν τοῖς πᾶσι καταγγείλαντας
Τὸν Βασίλειον ἅμα σὺν τῷ Γρηγορίῳ
Καὶ τὸν θεῖον Ἰωάννην δεῦτε ἅπαντες
Ἀνυμνήσωμεν φαιδρῶς ἀγαλλιώμενοι,
Τούτοις κράζοντες· θεοκήρυκες, χαίρετε.

Ἅγιοι Ἱεράρχαι τοῦ Χριστοῦ καὶ Ποιμένες, νοΐ μου καταπέμψατε χάριν· (γ.') τολμήσας γὰρ ἐκ πόθου ὑμῶν τὰς ἀριστείας ὑμνῆσαι,

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ • ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ



λόγων ὅλως ἐστέρημαι· ἀλλ' οὖν κραυγάζω πρὸς ὑμᾶς τοιαῦτα·
χαίρετε, κήρυκες οἱ Τριάδος,
χαίρετε, ῥήτορες οἱ Μονάδος.
χαίρετε, Πατρὸς ἀγεννήτου ἐκφάντορες,
χαίρετε, Υἱοῦ γεννητοῦ θεῖοι κήρυκες.
χαίρετε, τοῦ θείου Πνεύματος ἀληθεῖς προσκυνηταί,
χαίρετε, μιᾶς θεότητος θεῖοι ὄντως λατρευταί.
χαίρετε, τὰ πυρίπνοα στόματα τοῦ Λόγου,
χαίρετε, οἱ θερμότατοι φίλοι τῆς Παρθένου.
χαίρετε, Ἐκκλησίας οἱ οἴακες,
χαίρετε, Οἰκουμένης αὐγάσματα.
χαίρετε, δι' ὧν Θεὸς ἐδοξάσθη,
χαίρετε, δι' ὧν Σατὰν κατῃσχύνθη·
Χαίρετε, θεῖοι Διδάσκαλοι.

Βάσις τῆς Ἐκκλησίας καὶ προπύργιον ταύτης ἐδείχθης, Βασίλειε παμμάκαρ· ὑπὲρ ταύτης γὰρ λίαν θερμῶς ἠγωνίσω, καθάπερ Ποιμὴν γνήσιος· διό, ἐπὶ Σοὶ χαίρουσα, καλεῖ πάντας Θεῷ βοῆσαι Ἀλληλούϊα.

Γνῶσιν τὴν τῶν Στοιχείων καὶ τῆς κτίσεως ὕλης, Σὺ δέδεξαι ἐκ τῆς Θεοτόκου· διὸ βίβλον συνέταξας, ἐν ᾗ καταγράφεις τοὺς λόγους τῶν ὄντων κάλλιστα, δι' ὧν φωτιζόμενοι βοῶμέν σοι ἐκ ψυχῆς τοιαῦτα·

χαῖρε, ὁ φῶς εὐσεβείας λάμψας,
χαῖρε, ὁ στόματ' ἀθέων φράξας.
χαῖρε, εὐσεβείας ὁ σπείρας τὰ δόγματα,
χαῖρε, ἀσεβείας καθάρας τὰ σπέρματα.
χαῖρε, ὁ δυνάμει Πνεύματος τὰς αἱρέσεις [καθελών,
χαῖρε, ὁ δυνάμει λόγων σου τὸν Εὐνόμιον βα-[λών.
χαῖρε, ὁ τοῦ Ἐπάρχου τὸν θυμὸν καταισχύ-[νας,
χαῖρε, ὁ Σαβελλίου τὴν λατρείαν διώξας.
χαῖρε, Βασίλειε, στύλε πύρινε,
χαῖρε, Βασίλειε, φῶς ἡμέτερον.
χαῖρε, ὁ ὄντων σκοπήσας τὴν φύσιν,
χαῖρε, ὁ τούτων τρανώσας τὴν γνῶσιν·
Χαῖρε, θεῖε Βασίλειε.

Δόξαν οἱ συμπλωτῆρες τῇ Τριάδι προσῆξαν, ἡνίκα τῆς θαλάσσης ἐρρύσω· τὸν ταύτης



γὰρ σάλον τῇ προσευχῇ σου κοπασθέντα ὡς εἶδον, εἷς Θεὸς ὁ Γρηγορίου ἐβόησαν, ᾧ καὶ συντασσόμεθα ᾄδοντες Ἀλληλούϊα.

Ἔσχεν ὁ Παραβάτης Σὲ ἀντίμαχον μέγαν κατὰ τῶν ἑαυτοῦ βουλευμάτων· ταῖς πανσόφοις γὰρ συγγραφαῖς τὸν Χριστεπώνυμον λαὸν ἐφώτιζες, βουλὴν δὲ τὴν αὐτοῦ ἄπρακτον ἔδειξας· διό σοι βοῶμεν·

χαῖρε, Γρηγόριε θεολόγε,
χαῖρε, Γρηγόριε μυστογράφε.
χαῖρε, θεολόγου τοῦ πρώτου μικρότερε,
χαῖρε, τῶν ἑτέρων ἁπάντων ὑπέρτερε.
χαῖρε, νοῦς ὁ ὑπερέξοχος καὶ Τριάδος συγ-(γραφεῦ,
χαῖρε, ὄργανον πολύφωνον καὶ Αὐτῆς ὑπο-(γραφεῦ.
χαῖρε, ὁ τὴν Τριάδα ἐν Μονάδι κηρύξας,
χαῖρε, ὁ τὴν Μονάδα ἐν Τριάδι τρανώσας.
χαῖρε, κιθάρα τοῦ Πνεύματος ἔμμουσος,
χαῖρε, κιννύρα ἡδύπνους τῆς χάριτος.
χαῖρε, τὸ πάνσοφον στόμα τοῦ Λόγου,
χαῖρε, ὁ φίλος τῆς μόνης Παρθένου·
χαῖρε, θεῖε Γρηγόριε.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ · ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

Ζέων ἀεὶ τῷ πόθῳ τοῦ Χριστοῦ, Ἰωάννη, τοῖς ἴχνεσιν Αὐτοῦ ἠκολούθεις· Παρθενίας, γάρ, πρᾳότητος καὶ ταπεινώσεως ἐραστὴς γεγονώς, πάντας τοὺς Ἑλλήνων σοφοὺς ἐξέπληξας καὶ Θεῷ προσήγαγες ᾄδοντας

Ἀλληλούϊα.

Ἤκουσε δῆμος ἅπας νέας Ρώμης τὰ βλύζοντα ἐκ καρδίας ὠκεάνεια ῥεῖθρα καὶ βουλόμενος ἐξ αὐτῶν ἀρδευθῆναι νεύσει τῇ Θεοῦ οἴακας τῆς Ἐκκλησίας ἐγχειρίζει, ἣν καλῶς διοικήσας, ἀκούεις·

χαῖρε, Ποιμὴν ψυχῶν ἡμετέρων,
χαῖρε, ἀλεῖπτα τῶν δυστυχούντων.
χαῖρε, Ἰωάννη, τὸ ἅρμα τοῦ Πνεύματος,
χαῖρε, Χρυσορρῆμον, Χριστοῦ μου τὸ τέ-
(μενος.
χαῖρε, ἄγαλμα εὐφρόσυνον πάντων τῶν
(Χριστιανῶν,
χαῖρε, ἴνδαλμα τὸ ἔμψυχον ἐκ πασῶν τῶν
(ἀρετῶν.
χαῖρε, ἡ ἔμψυχος στήλη τῆς Παρθενίας,
χαῖρε, ὁ μέγιστος κῆρυξ τῆς μετανοίας.
χαῖρε, Γραφῶν τῶν θείων σαφήνεια,



χαῖρε, φωστὴρ αὐγάζων τὰ πέρατα.
χαῖρε, δι᾽ οὗ εἰς Χριστὸν ἦλθον ἔθνη,
χαῖρε, ὑφ᾽ οὗ ἡ κακία ἠλέγχθη·
χαῖρε, θεῖε Χρυσόστομε.

Θείας θεολογίας θεηγόροι ὀφθέντες, πιστοῖς ἐδογματίσατε σέβειν θεότητα μίαν ἐν Τρισὶν Ὑποστάσεσιν, ἄναρχον, ἀτελεύτητον, ἄκτιστον, φύσεων ποιητικὴν καὶ συντηρητικήν, ᾗ βοῶμεν Ἀλληλούϊα.

Ἴδεν ὑμᾶς ὁ Ἄρχων τοῦ Ναοῦ Εὐχαΐτων καὶ ἠγαλλιάσατο σφόδρα· ἰσότητα δὲ τὴν ὑμῶν ἀνακηρύξας τοῖς λαοῖς, ἅπασαν ἀφεῖλεν ἔριν· ἔπεισε δ᾽ αὐτοὺς κραυγάζειν πρὸς Ὑμᾶς τοιαῦτα.

χαίρετε, Ἥλιοι φαεσφόροι,
χαίρετε, λύχνοι οἱ φωτοφόροι.
χαίρετε, πηγαὶ ἐξ Ἐδὲμ αἱ ἐκβλύζουσαι,
χαίρετε, πηγαὶ αἱ τὴν γαῖαν ἀρδεύουσαι.
χαίρετε, οἱ τρισκαιδέκατοι Μαθηταὶ τοῦ
(Ἰησοῦ,
χαίρετε, οἱ μεγαλέμποροι ἀσυλήτου θη-
(σαυροῦ.
χαίρετε, λυτρωταὶ τῆς ἡμῶν τριχοστασίας,

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ · ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΣ

χαίρετε, χορηγηταὶ τῆς ἡμῶν ὁμονοίας.
χαίρετε, οἱ Τριάδος ὑπέρμαχοι,
χαίρετε, Οἰκουμένης διδάκτορες.
χαίρετε, μυσταγωγοὶ τῶν ἀρρήτων,
χαίρετε, οἱ παροχεῖς τῶν χαρίτων·
χαίρετε, Διδάσκαλοι μέγιστοι.

Κύριον καὶ Δεσπότην τὸ Πανάγιον Πνεῦμα ἐκήρυξας σοφώτατε Ἄνερ· ἐν μέσῳ τῆς Συνόδου τὴν ἐκ μόνου τοῦ Πατρὸς ἄφραστον Αὐτοῦ καὶ ἄχρονον τρανώσας Ἐκπόρευσιν καὶ Θεότητα, πάντας ἔπεισας Τούτῳ ᾄδειν

Ἀλληλούϊα.

Λύκους ἐκ τῆς ἀγέλης τοῦ Χριστοῦ ἐκδιώξαντι τὰ σκῆπτρα Ἐκκλησίας δωρεῖται Ὅς διὰ Σταυροῦ τὸ αἷμα ἐξέχεεν, Ἥτις καὶ χαίρουσα τῇ Σῇ ἐπαπολαύσει ἐβόα σοι ἀγαλλιῶσα·

χαῖρε, ἀκῦμον Πνεύματος νόε,
χαῖρε, πιστῶν θεολόγων ἄρχων.
χαῖρε, τῆς ἐμῆς κατηφείας ἡ λύτρωσις,
χαῖρε, τῶν ἐμῶν λογογράφων ὁ ἔξαρχος.



χαῖρε, ὅτι ὑπερεμάχησας διὰ τὸν ἐμὸνΘεόν,
χαῖρε, ὅτι ἀπεδίωξας ἀπ᾿ ἐμοῦ πάντα ἐχ-
(θρόν.
χαῖρε, ὡς μετὰ πότμον σὺν Ἀγγέλοις οἰ-
(κήσεις,
χαῖρε, ὡς μετὰ μόρον τὸν Ναόν μου κο-
(σμήσεις.
χαῖρε, Χριστοῦ μου θεῖον φραγγέλιον,
χαῖρε, Χριστοῦ μου στόμα πυρίπνοον.
χαῖρε, λαοῦ Χριστοφόρου τὸ κέρας,
χαῖρε, ἐμοῦ θεολόγων τὸ γέρας.
χαῖρε, θεῖε Γρηγόριε.

Μέγας τῆς μετανοίας ἀνεφάνης Σὺ κῆρυξ, τοὺς πάντας πρὸς αὐτὴν παροτρύνων, ἀδικίας ἔνθερμος διώκτης, προστάτης τῶν Χηρῶν ὀξύτατος, παραμυθήτωρ δὲ πάντων τῶν Θεῷ βοώντων Ἀλληλούϊα.

Νέα τις Ἰεζάβελ ἡ Βασίλισσα ὤφθη, τὴν ἄμπελον τῆς Χήρας λαβοῦσα· Σὺ δὲ ταύτην καὶ τοὺς σὺν αὐτῇ παρρησίᾳ ἤλεγξας· οἱ μὴ βουληθέντες συνιέναι ἔξωσάν σε τὸν Δίκαιον· διό σοι βοῶμεν·

χαῖρε, δι᾿ οὗ Βασιλὶς ἠλέγχθη,

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ · ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

χαῖρε, δι᾽ οὗ ἡ πτωχὴ ἐσώθη.
χαῖρε, θηροδείπνων ὁ μέγας πολέμιος,
χαῖρε, φιλαργύρων ἐλεγκτὴρ ὁ ἔνθεος.
χαῖρε, ὅτι ἀφωμοίωσαι εἰς τὰς θλίψεις τῷ
(Χριστῷ,
χαῖρε, ὅτι ἐμεγάλυνας τὸν Αὐτὸν ἐν Κου-
(κουσῷ.
χαῖρε, ὁ τὸν βίον σου ἀπαθείᾳ φαιδρύνας,
χαῖρε, ὁ τὸν ἔλεον τοῖς πτωχοῖς ἐπαν-
(τλήσας.
χαῖρε, ψυχῶν Ἰατρὸς ὁ εὔστοχος,
χαῖρε, κανὼν ἀρετῆς εὐθύτατος.
χαῖρε, ὁ ῥείθροις χρυσοῖς ἡμᾶς ἄρδων,
χαῖρε, Θεῷ ὁ ἀεὶ μεσιτεύων·
χαῖρε, θεῖε Χρυσόστομε.

Ξύμπαντα ὁ συμπήξας Ἰησοῦς ὁ Παγκρά-
τωρ, εὐχῶν σου εἰσακούσας, Σοὶ ὤφθη ἐν
ὁράματι μυσταγωγῶν τὴν θείαν Ἱερουρ-
γίαν, ἣν χαίρων τῇ Ἐκκλησίᾳ παρέδωκας·
ἡ δέ, Ταύτην κατέχουσα, Θεῷ ᾄδει
Ἀλληλούϊα.

Ὅτε Σὴν ἐξορίαν Γραμματεὺς ἐξετέλει,
τότε ἡ χεὶρ αὐτοῦ ἐνεκρώθη· Βασιλέως δὲ

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ
ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ



ὁ παῖς θνήσκειν ἤμελλεν, εἰ μὴ τὴν αὐτοῦ
θᾶττον ἐκώλυε βουλήν, Βασίλειε, πιστῶν
δὲ ἡ πληθὺς ἐβόα σοι τοιαῦτα·
χαῖρε, ἡ θεία δογμάτων βάσις,
χαῖρε, ὁ θεῖος τοῦ Χριστοῦ θύτης.
χαῖρε, ὁ Πατέρων κυρώσας τὰ δόγματα,
χαῖρε, Ἐκκλησίᾳ ὁ βλύσας διδάγματα.
χαῖρε, θαῦμα περιβόητον πάσης γαίας καὶ
(φυλῆς,
χαῖρε, καύχημα ἐξαίρετον ἅπασι τοῖς Κλη-
(ρικοῖς.
χαῖρε, ὁ κτησάμενος Μωϋσέως τὸ πρᾶον,
χαῖρε, ὁ μιμησάμενος Ἡλιοῦ τὸν ζῆλον.
χαῖρε, Ποιμὴν Ποιμένων ὁ ἔξαρχος,
χαῖρε, φωστὴρ φωστήρων ὁ ἔκλαμπρος.
χαῖρε, δι᾽ οὗ Παρθενία ὑψοῦται,
χαῖρε, δι᾽ οὗ ὕψος ταύτης δηλοῦται·
χαῖρε, θεῖε Βασίλειε.

Πᾶσαν τὴν τῶν Ἑλλήνων ἐκμαθόντες σο-
φίαν, τοὺς λήρους ἐβδελύχθητε τούτων,
σοφίαν δὲ τὴν ἐκ Θεοῦ ἐνστερνισάμενοι,
δι᾽ αὐτῆς τὰ πέρατα τῆς γαίας αὐγάζετε
καὶ πάντας προτρέπετε θεῷ ᾄδειν
Ἀλληλούϊα.

Ρήτορας τῶν ἀθέων ἐδιώξατε πόρρῳ, Χριστοῦ τῆς Ἐκκλησίας Πατέρες· Τριὰς γὰρ ἡ Ἁγία πυρσοὺς ὑμᾶς ἀνέδειξε, τοὺς μὲν ἐχθροὺς φλέγοντας, τοὺς δὲ πιστοὺς φωτίζοντας κραυγάζειν πρὸς ὑμᾶς τοιαῦτα·

χαίρετε, στύλοι τῆς εὐσεβείας,
χαίρετε, πύργοι τῆς Ἐκκλησίας.
χαίρετε, Πατρὸς τοῦ Ἀνάρχου αἱ σάλ-(πιγγες,
χαίρετε, Υἱοῦ Συνανάρχου αἱ ἴυγγες.
χαίρετε, δοχεῖα εὔοσμα Παρακλήτου τοῦ (Σεπτοῦ,
χαίρετε, Ταμεῖα ἔνδοξα θησαυρῶν τῶν (Ἑαυτοῦ.
χαίρετε, τοῦ μεγάλου Βασιλέως οἱ θύται,
χαίρετε, τῶν οὐρανίων Δογμάτων οἱ δόται.
χαίρετε, ἀστέρες οἱ πολύφωτοι,
χαίρετε, Ἀγγέλων οἱ ὁμότροποι.
χαίρετε, οἱ γαλουχεῖς εὐσεβέων,
χαίρετε, οἱ πρεσβευταὶ τῶν βοώντων·
χαίρετε, θεῖοι Διδάσκαλοι.

Σήμερον πᾶσα κτίσις γεραιρέτω ἐξόχως τὸν μέγαν Ἰωάννην ἐν ὕμνοις· Οὗτος



γὰρ θεόθεν ἐμπνευσθεὶς πᾶσαν τὴν Γραφὴν ἡμῶν λαμπρῶς διεσάφισε, διὸ πάντες ἐν τοῖς Τούτου δέλτοις τρυφήσωμεν, ἵνα γνῶμεν ᾄδειν Ἀλληλούϊα.

Τεῖχος τῆς Ἐκκλησίας, Οἰκουμένης διδάκτωρ, ἁπάντων τῶν Πατριαρχῶν δόξα· ὁμόαθλος Μαρτύρων, Μοναστῶν ἐγκαλλώπισμα, θλιβομένων μέγιστον παραμύθιον γέγονας, ὦ Ἰωάννη· διό σοι βοῶμεν·

χαῖρε, δι᾿ οὗ εὐσεβεῖς μυοῦνται,
χαῖρε, δι᾿ οὗ ἀσεβεῖς ὀλοῦνται.
χαῖρε, Ἐκκλησίας ἡμῶν ἡ εὐπρέπεια,
χαῖρε, βασιλείου λαοῦ τὸ ἑδραίωμα.
χαῖρε, Ἥλιε Χρυσόστομε θεορρῆμον ἀρι-(στεῦ,
χαῖρε, Ἄγγελε ἐπίγειε τῶν ὑψίστων ἀγγε-(λεῦ.
χαῖρε, ὁ εὐσεβεῖς μυσταγωγήσας τὰ θεῖα,
χαῖρε, ὁ ἐξ αὐτῶν ἀποβαλὼν τὰ ὀθνεῖα.
χαῖρε, Τριάδος κῆρυξ ὁ ἔνθεος,
χαῖρε, Ἁγίου Πνεύματος τέμενος.
χαῖρε, δι᾿ οὗ φωτουργεῖται ἡ κτίσις,
χαῖρε, δι᾿ οὗ στερεοῦται ἡ πίστις·
χαῖρε, θεῖε Χρυσόστομε.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ · ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

Ὕψος τὸ τοῦ νοός σου καὶ ψυχῆς τὴν ἀνδρείαν, τὶς μὴ θαυμάσειε, ὦ θεῖε ἄνερ! νοημάτων γὰρ πέλαγος ἐγκλείεις ἐν δέλτοις σου· δι᾽ ὧν ἅπαντας ἐκδιδάσκεις τῶν ἡδέων ἀπέχειν, θεῷ δὲ προσκολλᾶσθαι ᾄδοντας Ἀλληλούϊα.

Φρίκη κατέσχε πάντας τοὺς πιστοὺς εὐχομένους ὑπὲρ τοῦ τότε ἀρνησιχρίστου· ἐπιστάντες γὰρ οἱ δαίμονες καὶ τοῦτον ἀφαρπᾶσαι ὁρμῶντες φεύγειν οὐκ ἴσχυον, ἕως ἔγγραφον αὐτοῦ Σοὶ παρέσχον· ὁ δὲ ἐβόα·

χαῖρε, ὁ ἐκ δαιμόνων με ῥύσας,
χαῖρε, ὁ τῷ Θεῷ μὲ προσάξας.
χαῖρε, ὁ χαρὰν αὐτῶν εἰς λύπην τρεψάμενος,
χαῖρε, κατηφείας ὁ ἐμὲ λυτρωσάμενος.
χαῖρε, κόσμος ὁ βασίλειος Ἐκκλησίας τοῦ
(Χριστοῦ,
χαῖρε, Ἄγγελε ἐπίγειε καὶ πολῖτα Οὐρανοῦ.
χαῖρε, τῆς Ἐκκλησίας ἡ· πολύφθογγος
(γλῶττα,
χαῖρε, τῆς Οἰκουμένης παμφαέστατον φάος.
χαῖρε, χαρὰ τῶν πίστει τιμώντων σε,
χαῖρε, χαρᾶς πληρῶν τοὺς ποθοῦντάς σε.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ · ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ



χαῖρε, πολλοὺς τοῦ βελίαρ λυτρώσας,
χαῖρε, πιστοὺς τῷ Θεῷ προσενέγκας·
χαῖρε, θεῖε Βασίλειε.

Χάριν φυγῆς σκανδάλων ἀπεφάσισας ὅπως τοῦ Βύζαντος τὸν θρόνον ἐάσῃς· Χριστοῦ δὲ ὁ λαὸς ἀνεβόα σοι· Τριάδα, Πάτερ, μετὰ Σοῦ αἴρεις τὴν Ἁγίαν, μὴ οὖν, ἀλλὰ μεῖνον τοῦ βοᾶν σὺν ἡμῖν Ἀλληλούϊα.

Ψάμμον ὑπὲρ θαλάσσης οἱ ἀγῶνές σου, Πάτερ, ἐν βίῳ τῷ προσκαίρῳ ὑπῆρξαν· Ὅθεν μετὰ μόρον ἡ Τριὰς ἐδόξασεν ἐπὶ τῆς γῆς καὶ γέρα σοι ἐν Οὐρανῷ δεδώρηται· ἡμεῖς δέ σοι βοῶμεν·

χαῖρε, ὁ Ἀποστόλων σύνθρονος,
χαῖρε, ὁ Βασιλείου φίλτατος.
χαῖρε, Χρυσοστόμου ὁ θεῖος συνάδελφος,
χαῖρε, Ἐκκλησίας χελιδὼν ἡ εὔλαλος.
χαῖρε, κῆρυξ ὁ θεότητα τὴν τοῦ Πνεύμα-
(τος τρανῶν,
χαῖρε, στόμα, Ὁμοούσιον τὸ Τριάδος ἐκ-
(δηλοῦν.
χαῖρε, ὁ τὰ ζυζάνια τῶν αἱρέσεων φλέξας,
χαῖρε, ὁ τὸν Εὐνόμιον τὸν δεινὸν καταστρέ-
(ψας.

χαῖρε, τὸ θεῖον στόμα τοῦ Πνεύματος,
χαῖρε, πηγὴ ἡ βρύουσα νάματα.
χαῖρε, Ἀνάρχου Θεότητος λάτρα,
χαῖρε, λαοῦ εὐσεβοῦς μυστολέκτα·
Χαῖρε θεῖε Γρηγόριε.

Ω τριὰς μακαρία, θεηγόροι Πατέρες, Βασίλειε, Γρηγόριε, Ἰωάννη· (γ΄.) ἱκετεύω τανῦν ἐκ ψυχῆς, τὴν μικράν μου ταύτην προσφορὰν πρόσδεξαι καὶ ποταμοῦ πυρὸς πάντας λύτρωσαι ταῖς ἱκεσίαις σου, ἵνα Θεῷ ψάλλωμεν Ἀλληλούια.

*Καὶ αὖθις τὸ Κοντάκιον· Τῇ Ὑπερμάχῳ·*

Τοὺς τὴν Τριάδα τὴν Ὑπέρθεον κηρύξαντας
Καὶ τὴν εὐσέβειαν τοῖς πᾶσι καταγγείλαν-
(τας,
Τὸν Βασίλειον ἅμα σὺν τῷ Γρηγορίῳ
Καὶ τὸν θεῖον Ἰωάννην δεῦτε ἅπαντες
Ἀνυμνήσωμεν φαιδρῶς ἀγαλλιώμενοι,
Τούτοις κράζοντες·
Θεοκήρυκες, χαίρετε!

*(Ἐποιήθησαν καὶ ἐγράφησαν ὑπὸ Ι. Δ. Ι. Π.)*

*(1912 Δεκέμβριος)*

*Ἐν Ἁγίῳ Ὄρει — Δεκέμβριος 1912.*

ΓΕΝΝΑΔΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΑΥΡΟΥ